(Φα.) ἐμοῦ πρόνοιαν εἶχες;
(Νι.) οἴομαί γε δή.
(Φα.) ἀνδρειοτέρους νὴ τὴν Ἀθηνᾶν νενόμικα
ὅσοι δύνανται τοῖς φίλοις ἀντιβλέπειν
ἀδικοῦντες ἢ τοὺς τοῖς πολεμίοις μαχομένους.
τοῖς μέν γε κοινὸς ὁ φόβος ἐστί, καὶ καλὸν
ὑπολαμβάνουσι πρᾶγμα ποιεῖν ἑκάτεροι.
τούτοις δ᾿ ὅπως ποτ᾿ ἐπιτρέπει συνειδέναι
αὑτοῖσι θαρρεῖν, πολλάκις τεθαύμακα.
(Νι.) πρὸς δὴ τί τοῦτ᾿ εἴρηκας;
(Φα.) ὦ τάλας ἐγώ,
ὅσον διημάρτηκα τοῦ ζῆν. τοῦ βίου
τί γάρ ἐστιν ἡμῖν μεῖζον ἀγαθὸν τῶν φίλων;
εἰ τοῦτο μήτ᾿ ἔγνωκα μ[ήτ᾿ ἐπίστ]αμαι
ὡς δεῖ θεωρεῖν ἀλλὰ λα[νθάνουσ]ί με
οἱ μὲν ἐπιβουλεύοντ[ες, οἱ δ᾿ ἄλλ]ως φίλοι
ὄντες, τί τὸ ζῆν ὄφελός [ἐστι;
(Νι.) πῶς λέγε[ις;
τί δ᾿ ἐστὶν ὃ λελύπηκέ σε;
[Φα.] [ἤρου τοῦ]τό με;
(Νι.) ἔγωγε, καὶ τεθαύμακ᾿ οὐ μετ[ρίως σ᾿ ὁρ]ῶν
συντεινόμενον πρὸς ἐμαυτόν.
[Φα.] [οἶδας, εἰ]πέ μοι,
ἐρῶντα τῆς γυναικὸς ἀνακο[ινοῦν με πᾶ]ν
πρὸς σαυτόν, οὐθὲν τῶν ἐμα[υτοῦ πρα]γμάτων
κρύπτοντα;
(Νι.) πάντ᾿, οὐκ [ἀντιλέγω σοι·] περίμενε.
(Φα.) περίμενε; ταύτην τοῦ πατρός μ᾿ ἀποστερεῖν
μέλλοντος ἠξίωκας, ο̣ἶδ᾿, α̣ὐτὴν γαμεῖν.
(Νι.) διαμαρτάνεις.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/341 UNIVERSITÄT LEIPZIG